# Fragment ur en liturgisk handbok gällande för ...



Handskrift // HS / Acc. 1978/135

Tillkomstår mellan 1600 och 1700?
Digitaliserad år 2019

KUNGL. BIBLIOTEKET
National Library of Sweden

ἀκατακρίτως μεταλαβεῖν τῶν ζωοποιῶν
ἀχράντων σου τούτων μυστηρίων·
σοὶ γὰρ τὰς ἑαυτῶν ὑπεκλί-
ναμεν κεφαλάς, ἀπεκδε-
χόμενοι τὸ παρὰ σοῦ πλούσι-
ον ἔλεος·



Χάριτι καὶ οἰκτιρμοῖς καὶ
φιλανθρωπίᾳ τοῦ μονογενοῦς
σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν
τῷ παναγίῳ καὶ ἀγα-
θῷ καὶ ζωοποιῷ σου πνεύματι

ὁ ἱερεὺς κλίνων ἐπεύχεται

Πρόσχες κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν.
ἐξ ἁγίου κατοικητηρί-
ου σου, καὶ ἀπὸ θρόνου
δόξης τῆς βασιλείας σου,
καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς.

Καὶ καταξίωσον ἡμᾶς δέσποτα
μετὰ παρρησίας ἀκατακρί-
τως τολμᾶν ἐπικαλεῖσθαι σὲ
τὸν ἐπουράνιον Θεὸν πατέρα

ὁ λαὸς τό· Πάτερ ἡμῶν



Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ
δύναμις καὶ ἡ δόξα τοῦ
πατρὸς καὶ τοῦ υἱοῦ καὶ
Εἰρήνη πᾶσι· Τὰς κεφαλὰς
ἡμῶν τῷ κυρίῳ· καὶ ἡ παρ' ἀρχ(ιερέως):—
Θεὸς ὁ μόνος ἀγαθὸς καὶ
εὔσπλαγχνος· ὁ ἐν ὑψηλοῖς
κατοικῶν καὶ τὰ ταπει-
νὰ ἐφορῶν ἐπίδε ἐν εὐσπλα-
γχνίᾳ, ἐπὶ πάντα τὸν
λαόν σου, καὶ φύλαξον αὐτόν·
καὶ ἀξίωσον πάντας ἡμᾶς

λύτρον ὑπὲρ τῆς ψυχῆς ἡμῶν.
πιστεύει ὁ ἁγιασμὸς ἡμῶν,
καὶ σοὶ τὴν δόξαν ἀναπέμ-
πομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ~



Οἱ πρὸς τὸ φώτισμα
προέλθετε· οἱ πρὸς τὸ
φώτισμα προέλθετε.
οἱ κατηχούμενοι προ-
έλθετε. μή τις τῶν κατη-
χουμένων, ὅσοι πιστοί, εἰς …~
… ᾄδεται ἀπὸ τῆς Δ…, τῆς μεσο-
νηστίμου~ … πιστῶν, α´~
Θεὸς ὁ μέγας καὶ ἀμε…τος·
ὁ τῷ ζωοποιῷ τοῦ Χριστοῦ
θανάτῳ εἰς ἀφθαρσίαν
ἡμᾶς ἐκ φθορᾶς μετα-
στήσας· … πάσας ἡμῶν

Τὰς αἰσθήσεις τῆς ἐμπα-
θοῦς νεκρώσας ζωσεῖχα-
θέωσον· ἀγαθὸν ταύ-
ταις ἡγεμόνα τὸν ἔν-
δον λογισμὸν ἐπιστήσας·
Ὁ ὀφθαλμὸς ἡμῶν ἀπέ-
στω παντὸς πονηροῦ
βλέμματος· ἡ ἀκοὴ δὲ
λόγοις ἀργοῖς ἀνεπίβα-
τος· ἡ δὲ γλῶσσα, κα-
θαρευέτω ῥημάτων
ἀπρεπῶν· ἁγίασον
ἡμῶν τὰ χείλη τὰ αἰ-
νοῦντά σε Κύριε· τὰς
χεῖρας ἡμῶν ποίη-
σον· τῶν μὲν φαύλων
ἀπέχεσθαι πράξεων.